# MÚSICA DE ORFEO Y MÚSICA DE LOS ÓRFICOS
## (Textos)

Francisco Molina Moreno.
Indiana University, Bloomington.

I. *OF* 6 Bernabé (*Derveni Papyrus,* cols. 10-11): [Ζεὺς μὲν ... / ἧστο] πανομφεύουσα [θεῶν] τροφὸς ἀμβροσίη Νύξ· / ... χρῆσαι... ἐξ ἀ̣[δύτοι]ο / [ἣ δ’] ἔχρησεν ἅπαντα τά οἱ θέ[μις ἦν ἀνύσασ]θ̣αι, / ὡς ἂν̣ ἔ̣[χοι κά]τα καλὸν ἕ̣δος νιφόεντος Ὀλύμπου.

II. Critias, fr. 19 Snell, vv. 32-4: δεινὰ δὲ κτυπήματα / βροντῆς τό τ' ἀστερωπὸν οὐρανοῦ δέμας, / Χρόνου καλὸν ποίκιλμα, τέκτονος σοφοῦ.

III. *OF* 211 B., *ap*. Hermias, *In Platonis Phaedrum,* p. 162, 2-6 Couvreur: διὸ καὶ πρὸ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται·

παλάμηισι δὲ χάλκεα ῥόπτρα
δῶκεν Ἀδρηστείαι·

ἐν τοῖς προθύροις γὰρ τοῦ ἄντρου τῆς Νυκτὸς ἠχεῖν λέγεται τοῖς κυμβάλοις, ἵνα πάντα αὐτῆς τῶν νόμων κατήκοα γένηται

IV. *OF*130 B.: βρίμας ταυρείους ἀφιεὶ‹ς› χαροποῦ τε λέοντος.

V. Ps. Orphei *Hymni,* 6, v. 3: ταυροβόαν, γένεσιν μακάρων θνητῶν τ' ἀνθρώπων.

VI. Ps. Orphei *Hymni,* 6, v. 5: ἄρρητον, κρύφιον ῥοιζήτορα, παμφαὲς ἔρνος.

VII. *OF* 691 B., v. 2: ὃς βρονταῖς σείεις βριαρὸν δόμον Οὐλύμποιο·

VIII. *Derveni Papyrus,* col. 18: Ὀρφεὺς γὰρ τὴμ φρόνησ[ι]μ Μοῖραν ἐκάλεσεν· ἐφαίνετο γὰρ αὐτῶι τοῦτο προσφερέστατον ε[ἶ]ν̣α̣ι ἐ̣ξ ὧν ἅπαντες ἄνθρωποι ὠνόμασαμ. πρὶμ μὲγ γὰρ κληθῆναι Ζῆνα, ἦμ Μοῖρα φρόνησις τοῦ θεοῦ ἀεί τε κα̣ὶ [δ]ιὰ παντός· ἐπεὶ δ' ἐκλήθη Ζεύς, γενέσθαι αὐτὸν δ̣[οκοῦσ]ι, ὄ̣ν̣τ̣α μέγ καὶ πρόσθεν

IX. *OF* 620 B.: Οὐρανὸν ὁρκίζω σε, θεοῦ μεγάλου σοφὸν ἔργον· / αὐδὴν ὁρκίζω σε πατρός, τὴν φθέγξατο πρῶτον, / ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς.

X. *OF* 414 B.: Ζεὺς δὲ πάντων ἐστὶ θεὸς πάντων τε κεραστής, / πνεύμασι συρίζων φωναῖσί τε ἀερομίκτοις.

XI. *OF* 578 B. (l. 29): κ]ῶνος ῥόμβος ἀστράγαλοι,

XII. *OF* 306 B.: (I) CLEM. ALEX. Protr. 2, 17, 2 (26 Marc.): τὰ δὲ Διονύσου μυστήρια τέλεον ἀπάνθρωπα· ὃν εἰσέτι παῖδα ὄντα ἐνόπλωι κινήσει περιχορευόντων Κουρήτων, δόλωι δὲ ὑποδύντων Τιτάνων ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ἔτι νηπίαχον ὄντα, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς φησιν ὁ Θράικιος·
κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια,
μῆλά τε χρύσεα καλὰ παρ᾽ Ἑσπερίδων λιγυφώνων.

XIII. *OF* 471 B.: P. DERVENI col. VI 1 εὐ]χαὶ καὶ θυσ[ί]ạι μ[ειλ]ị́σσọυσι τ̣ὰ̣[ς ψυχάς,] ἐπ̣[ωιδὴ δ]ὲ̣ μάγων δύν[α]ται ḍαίμονας ἐμ[ποδὼν γι̣[νομένου]ς μεθιστάṿαι· δαίμοṿες ἐμπο[δὼν εἰσι] ψ[υχαῖς ἐχθ]ρ̣οί.

XIV. Ps. Orpheus, *Lithica,* 725-7: τόφρα δὲ κικλήσκειν μακάρων ἄρρηκτον ἑκάστων / οὔνομα· τέρπονται γάρ, ἐπεί κέ τις ἐν τελετῇσι / μυστικὸν ἀείδησιν ἐπώνυμον οὐρανιώνων.

XV. Philodemus, *De poem. (P. Hercul.* 1074 fr. 30, D fr. 10 p. 17 Nardelli): ὀ]λίγον λόγον οὗτος Ὀρφεοτελεϲτοῦ τυμπάνωι καὶ παιδαγωγοῦ καλαμίδι προϲθεὶϲ...

XVI. Ps. Orpheus, *Argonautica,* 965-6: ὄρφνινα θ' ἑσσάμενος φάρη καὶ ἀπεχθέα χαλκόν / κρούων ἐλλισάμην·

XVII. Firmicus Maternus, *De errore profanarum religionum,* 6, 5 (= *OF* 572 B.): *Praefertur cista in qua cor soror latenter absconderat, tibiarum cantu et cymbalorum tinnitu crepundia, quibus puer deceptus fuerat, mentiuntur.*

XVIII. Philostratus, *Vita Apollonii Tyanensis,* 4, 21: ὅτι αὐλοῦ ὑποσημήναντος λυγισμοὺς ὀρχοῦνται καὶ μεταξὺ τῆς Ὀρφέως ἐποποιίας τε καὶ θεολογίας τὰ μὲν ὡς Ὧραι, τὰ δὲ ὡς Νύμφαι, τὰ δὲ ὡς Βάκχαι πράττουσιν.

XIX. Philetaerus, fr. 17 K.-A.: ὦ Ζεῦ, καλόν γ' ἔστ' ἀποθανεῖν αὐλούμενον· / τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία / ἀφροδισιάζειν ἐστίν, οἱ δὲ τοὺς τρόπους / ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ, / εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον.

XX. *OF* 417 B.: SCHOL. Verg. *Aen*. 6, 119 ap. *Cod*. *Par*. *Lat*. 7930: *si potuit Manes] dicunt tamen quidam liram Orphei cum VII cordis fuisse, et celum habet VII zonas, unde teologia assignatur. Varro autem dicit librum Orfei de vocanda anima Liram nominari, et negantur animae sine cithara posse ascendere*.